# ΕΝΑΡΚΤΗΡΙΟΣ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΠΑΣΧΑ

Ἀπό τῆς Δευτέρας μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου, ὡς καί τῇ ἡμέρᾳ τῆς Ἀποδόσεως, ἀντί τῆς πρό τοῦ Ἑσπερινοῦ Θ΄ Ὥρας, τῶν Ὡρῶν τοῦ Ἀποδείπνου καί τοῦ Μεσονυκτικοῦ, ἀναγινώσκεται ἡ διατεταγμένη ἐναρκτήριος Ἀκολουθία ὡς ἑξῆς:

Μετά τό· « Εὐλογητός ὁ Θεός ἡμῶν... ».

**Χριστός ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καί τοῖς ἐν τοῖς μνήμασι ζωήν χαρισάμενος (τρίς).**

**Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τόν μόνον ἀναμάρτητον. Τόν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καί τήν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καί δοξάζομεν. Σύ γάρ εἶ Θεός ἡμῶν, ἐκτός Σοῦ ἄλλον οὐκ οἴδαμεν, τό ὄνομά Σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί προσκυνήσωμεν τήν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδού γάρ ἦλθε διά τοῦ Σταυροῦ, χαρά ἐν ὅλῳ τῷ κόσμῳ. Διαπαντός εὐλογοῦντες τόν Κύριον, ὑμνοῦμεν τήν Ἀνάστασιν αὐτοῦ. Σταυρόν γάρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν (τρίς).**

**Προλαβοῦσαι τόν ὄρθρον αἱ περί Μαριάμ, καί εὑροῦσαι τόν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· τόν ἐν φωτί ἀϊδίῳ ὑπάρχοντα, μετά νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τά ἐντάφια σπάργανα· δράμετε καί τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τόν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τό γένος τῶν ἀνθρώπων.**

**Εἰ καί ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλά τοῦ Ἅδου καθεῖλες τήν δύναμιν· καί ἀνέστης ὡς νικητής, Χριστέ, ὁ Θεός, γυναιξί Μυροφόροις φθεγξάμενος, Χαίρετε· καί τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.**

**Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδη δέ μετά ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δέ μετά λῃστοῦ, καί ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετά Πατρός καί Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.**

**Δόξα Πατρί...**

**Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καί παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος σου, ἡ πηγή τῆς ἡμῶν ἀναστάσεως.**

**Καί νῦν καί ἀεί...**

**Τό τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διά σοῦ γάρ δέδοται ἡ χαρά Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύ ἐν γυναιξίν ὑπάρχεις, πανάμωμε Δέσποινα.**

**«Κύριε, ἐλέησον» (μ΄). Δόξα, Καί νῦν· «Τήν Τιμιωτέραν τῶν Χερουβείμ...». «Δι' εὐχῶν...».**

**Ἡ Ἀκολουθία αὕτη ἐπαναλαμβάνεται τρίς, ὡς ἔχει καί μετά μικρά Ἀπόλυσις ἐπισφραγιζομένη διά τοῦ· «Χριστός ἀνέστη...».**

## Ἑορτή τῆς Ἀναλήψεως, Εἰς τόν Ἑσπερινόν Στιχηρά Ἰδιόμελα, Ἦχος πλ β΄, Πα




Ο Κυ ρι ι ος α νε λη φθη εις ου ου ρα α α νους
ι να πε εμ ψη τον Πα ρα α κλη το ον τω κο ο ο ο σμω
οι ου ρα νοι η τοι μα σαν τον θρο ο ο ο νον α αυ του
νε φε ε ε λαι την ε πι ι βα σι ιν α α αυ του
Αγ γε λοι θαυ μα α ζου ου σιν αν θρω πον ο ρων τες υ πε ρα
α α νω ω α α αυ των ο Πα τηρ εκ δε χε ε ται ον
εν κο ο ολ ποις ε χει συ υ υ να ι ι δι ι ι ι ον
το Πνευ μα το α γι ον κε λευ ει πα σι τοις αγ γε ε λοις
α αυ του α ρα τε πυ υ λας οι α αρ χον τε ες η
η η μων παν τα τα ε θνη κρο τη η σα α α τε ε
χει ει ει ρας ο τι α νε ε βη Χριστος ο που η ην το
προ ο ο τε ε ε ε ρον
Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε


υ πε μει νεν η ψυ χη μου εις τον λο γον σου ηλ πι σεν
η ψυ χη μου ε πι ι ι τον Κυ υ ρι ι ι ον
Τό αὐτό
Α πο φυ λα κης πρω ι ας με χρι νυ κτος α πο φυ λα κης πρω
ι ας ελ πι σα τω Ι σρα ηλ ε πι ι ι τον Κυ υ ρι ι ι ον
Κυ ρι ι ε τη ση Α α α να α λη η η ψει ε ξε
πλα α γη η σαν τα α Χε ε ε ρου ου βιμ θε ω ρη σαν
τα σε τον Θε ον ε πι νε φε λω ω ων α νερ χο ο ο
με ε ε ε νον τον επ αυ τω ων κα α α θε ζο ο με ε ε
ε νον και δο ξα α α ζο ο με ε εν σε ο τι
χρη στον το ε λε ο ο ος σου δο ο ξα α α σοι
Ο τι πα ρα τω Κυ ρι ω το ε λε ος και πολ λη παρ αυ τω
λυ τρω σις και αυ τος λυ τρω σε ται τον Ι σρα ηλ
εκ πα σω ων των α νο μι ω ω ων α α α αυ του
Εν τοις ο ο ρε σι τοι οι οις α α γι ι ι οις θε


ω ρουν τες σου τας υ ψω ω ω σει εις Χρι ι ι στε το
α παυ γα σμα της δο ο ξη ης του ου ου Πα α τρος α νυ
μνου μεν σου την φω το ο ει ει δη του προ σω ω που μο ορ
φη η ην προ σκυ νου με εν σου τα πα θη η μα α α α α
τα τι μω μεν τη η ην Α να α στα α α α σιν την
εν δο ξον Α να α λη η ψιν δο ξα α α ζο ο ο ον τες
ε λε ε η σο ον η η η μας
Αι νει τε τον Κυ ρι ον παν τα τα ε θνη ε παι νε σα τε
αυ τον πα αν τες οι οι λα α α οι
Κυ ρι ι ε οι Α πο στο λοι ως ει δον σε εν νε φε
λαι αι αις ε παι ρο με ε ε ε νον ο δυρ μοις δα α κρυ
υ υ ων ζω ο δο ο ο τα Χρι ι στε κα τη φει ει
ας πλη ρου ου με ε ε νοι θρη νου ουν τες ε ε λε


ε ε γον Δε σπο τα μη ε α α σης η μας ο ορ φα α
νους ους δι οι οι κτον η γα πη σας δου λους σου ως ε
ευ σπλα α αγ χνος αλλ α πο στει λον ως υ πε ε σχου η η
μιν το πα να γι ο ο ον σου ου Πνε ε ευ μα φω τα γω
γου ουν τα ας ψυ χα α ας η η η η μων
Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η
α λη θει α του Κυ ρι ου με νει εις το ον αι ω ω ω να
Κυ ρι ι ε της οι κο νο μι ας πλη ρω σας το μυ στη ρι ι
ον πα ρα λα βων τους σους μα α α θη η τας εις το
ο ο ρος των ε λαι ω ω ων α νε λαμ βα α α α νες
και ι δου το στε ρε ω μα του ου ρα νου πα ρη η η ηλ
θες ο δι ε με πτω χε ευ σας κα ατ ε ε ε με
και αι α να βας ο θεν ουκ ε ε χω ω ρι ι ι σθης


το πα να γι ον σου Πνευ μα ε ξα πο ο ο στει ει ει ει
λον φω τι ι ζον τα ας ψυ χα α α ας η η η η μων
Δοξαστικόν Ἑσπερινοῦ, Ἦχος πλ β΄, Πα
Νε ε Δο ο ο ξα Πα α τρι ι ι ι και Υι ι ω και α γι ι
ω Πνε ευ μα α α τι Και αι νυ υ υν και α α ει και εις
τους αι αι ω ω ω νας των αι ω ω νων α α α α μην
Τω ων κο ο ολ πων των πα α τρι ι κων μη η η χω ω ρι ι
σθεις γλυ κυ υ τα α τε ε Ι η σου ου ου ου ου ου ου και
τοις ε ε πι ι γης ω ως αν θρω ω πος συ να να α στρα α
φεις ση με ρον απ ο ο ρους τω ω ων Ε ε ε λαι αι ων
α νε λη η φθης εν δο ο ο ο ξη και την πε σου ου ου
ου σα αν φυ υ υ σιν η μων συμ πα θω ως α α α νυ υ
ψω ω σας τω Πα τρι ι συ υ νε κα α α θι ι ι ι σας
ο θεν αι αι ου ου ρα α νι ι ι αι των α σω μα α α


τω ων τα α ξεις το θαυ μα ε εκ πλη ητ το ο ο
Πα
με ε ε ε ναι ε ξι ι στα αν το θα α α αμ βει ει
Δι
και τρο μω συ νε χο ο με ναι την σην φι λαν θρω πι αν
Πα
ε ε με ε γα α α α α α α λυ υ υ υ νον
μεθ ων και η μεις οι οι ε ε ε πι ι γης την προς η
Δι
μας σου ου συγ κα τα βα α α α σιν και την αφ η μω ων
Κε Δι Κε Δι
Α α να λη η ψιν δο ξο λο γου ου ουν τες ι κε τε ευ
Μ Πα
ο ο με εν λε ε γο ο ο ον τες ο τους μα α
Δι Κε Δι
θη η τας και την τε κου ου σα αν σε Θε ε ε ο ο το ο ο
Κε Δι
κον χα ρας α πει ει ει ρου πλη η η σας εν τη ση Α α να
Πα
λη η η η ψει και η μας α ξι ω ω σον των ε κλε
Δι
κτων σου ου της χα α ρας ευ χαις α αυ τω ων δι α το
Πα Νη Πα
με ε γα α σου ε ε ε λε ε ε ε ος

Προκείμενον μετά τήν Εἴσοδον. Τῇ Τετάρτῃ ἑσπέρας. Ἦχος πλ. α'.

Ὁ Θεός, ἐν τῷ ὀνόματι σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχ. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. Β', 2)

Τάδε λέγει Κύριος· Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτῷ πάντα τὰ ἔθνη, καὶ πορεύσονται λαοὶ πολλοί, καὶ ἐροῦσι· Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. ΞΒ', 10 ΞΓ', 1)

Τάδε λέγει Κύριος· Πορεύεσθε, περιέλθετε διὰ τῶν πυλῶν μου, σκευάσατε τὴν ὁδόν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε, ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη· ἰδοὺ γὰρ ὁ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. Εἴπατε τῇ θυγατρὶ Σιών· ἰδοὺ ὁ Σωτήρ σου παραγέγονεν, ἔχων τὸν ἑαυτοῦ μισθὸν μεθ' αὐτοῦ, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. Καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου, σὺ δὲ κληθήσῃ, Ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη. Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ, οὕτως ὡραῖος ἐν στολῇ αὐτοῦ; βοᾷ μετὰ ἰσχύος πολλῆς, Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Πλήρης καταπεπατημένης, ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ. Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἀναμνήσω, τὴν αἴνεσιν Κυρίου ἐπὶ πᾶσιν, οἷς ἡμῖν ἀνταποδίδωσι, Κύριος, κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει ἡμῖν κατὰ ἔλεον αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν· οὐχὶ λαός μου ἐστὲ; τέκνα, καὶ οὐ μὴ ἀθετήσωσι· καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν, οὐ πρέσβυς, οὐδὲ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτοὺς διὰ τὸ ἀγαπᾶν αὐτούς, καὶ φείδεσθαι αὐτῶν. Αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὑπερύψωσεν αὐτούς, πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

Προφητείας Ζαχαρίου τὸ Ἀνάγνωσμα (Κεφ. ΙΔ', 4)

Τάδε λέγει Κύριος· Ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλήμ, ἐξ ἀνατολῶν ἡλίου. Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, ἐν θέρει, καὶ ἐν ἔαρι ἔσται οὕτω. Καὶ ἔσται Κύριος εἰς Βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλῶν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ Γαβαᾶ ἕως Ῥεμμών, κατὰ νότον Ἱερουσαλήμ, καὶ ὑψωθήσεται, καὶ ἐπὶ τοῦ τόπου μενεῖ, ἀπὸ τῆς πύλης Βενιαμίν, ἕως του τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τοῦ Γομόρ, καὶ ἕως, τοῦ πύργου Ἀναμεήλ, καὶ ἕως τοῦ πύργου τῶν γωνιῶν, καὶ ἕως τῶν ὑποληνίων τοῦ Βασιλέως. Κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκέτι ἔσται, καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

## Δοξαστικόν τῆς Λιτῆς τῆς Ἑορτῆς διά τήν ἀρτοκλασίαν, Ἦχος Δ', Πα






Εἰς τὸν Στίχον Στιχηρὰ Ἰδιόμελα, Ἦχος β'

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης, ὡς αὐτὸς ἠβουλήθης, ἔπαθες σαρκί, ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον, ἀνελήφθης ἐν δόξῃ, ὁ τὰ σύμπαντα πληρῶν, καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ἀναλαμβανομένου σου Χριστέ, ἐκ τοῦ ὄρους τῶν Ἐλαιῶν, αἱ δυνάμεις ὁρῶσαι ἑτέρα τῇ ἑτέρᾳ ἐβόων· Τίς ἐστιν οὗτος; καὶ φησὶ πρὸς αὐτάς· Οὗτός ἐστιν ὁ κραταιός καὶ δυνάστης, οὗτός ἐστιν ὁ δυνατὸς ἐν πολέμῳ, οὗτός ἐστιν ἀληθῶς ὁ Βασιλεὺς τῆς δόξης. Καὶ ἵνα τί αὐτοῦ ἐρυθρὰ τὰ ἱμάτια; Ἐκ Βοσὸρ ἥκει, ὅπερ ἐστί, τῆς σαρκός. Αὐτὸς δὲ ὡς Θεὸς ἐν δεξιᾷ καθίσας τῆς μεγαλωσύνης, ἀπέστειλας ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον ἵνα ὁδηγήσῃ, καὶ σώσῃ τὰς ψυχὰς ἡμῶν.

Στίχ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Ἀνελήφθης ἐν δόξῃ, ἐκ τοῦ ὄρους τῶν Ἐλαιῶν Χριστὲ ὁ Θεὸς ἐνώπιον τῶν σῶν Μαθητῶν, καὶ ἐκάθισας ἐν δεξιᾷ τοῦ Πατρὸς ὁ τὰ σύμπαντα πληρῶν τῇ Θεότητι, καὶ ἀπέστειλας αὐτοῖς Πνεῦμα τὸ ἅγιον, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Δόξα... Καί νῦν... Ἦχος πλ. β'

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, τοῦ ἀνυψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδάμ, καὶ ἀποστεῖλαι Πνεῦμα Παράκλητον, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τόν Στίχον, τά αὐτά Στιχηρά Ἰδιόμελα τονισμένα, Ἦχος β', Δι




πα τη η σας τον θα α να α α τον α νε λη φθης
ε εν δο ο ο ξη ο τα συμ πα αν τα πλη η η ρων και α
πε στει λας η μιν Πνε ευ μα α θει ει ον του α νυ μνειν και
δο ξα ζει ειν σου την Θε ε ο ο ο τη η η η τα
Παν τα τα ε θνη κρο τη σα τε χει ρας α λα λα ξα τε τω
Θε ω εν φω νη α γαλ λι α α α σε ως
Α να λαμ βα νο με νου σου Χρι στε εκ του ο ο ρους τω ων
Ε ε λαι αι ων αι δυ να μεις ο ο ρω ω ω σαι ε τε
ρα τη ε τε ε ε ρα α ε ε ε βο ο ο ο ων
τις ε στιν ου ου ου τος και φη σι προς α αυ τας ου τος
ε στιν ο κρα ται ος και αι δυ υ υ να α α στης ου
τος ε στιν ο δυ να το ος ε ε εν πο ο λε ε μω
ου τος ε στιν α λη θως ο βα σι λευς της δο ο ο ο
ξης και ι να τι αυ του ε ρυ θρα α τα ι μα α α


τι α εκ Βο σορ η η η η κει ο περ ε στι της
σα αρ κος αυ τος δε ως Θε ος εν δε ξι α κα θι σας
της με γα λω συ υ υ νης α πε στει λας η μιν το Πνε ε ευ
μα το α γι ι ι ι ον ι να ο δη γη η ση και
σω ω ω ση τας ψυ υ χα α ας η η η η μων
Α νε βη ο Θε ος εν α λα λαγ μω Κυ ρι ος εν φω νη η
σα α αλ πιγ γος
Α νε λη φθης εν δο ξη εκ του ο ρους των Ε λαι ων Χρι στε ο
Θε ε ος ε νω πι ον των σων μα θη των και ε κα θι
σας εν δε ξι α του Πα α τρος ο τα συμ παν τα πλη ρω ω
ω ων τη Θε ο τη η η η τι και α πε στει λας αυ τοις Πνε
ευ μα το α α α γι ον το φω τι ζον και στη ρι ι ι ζον
και α γι α α ζον τας ψυ υ χα α ας η η η η μων

## Δοξαστικόν Ἀποστίχων, Ἦχος πλ β', Πα




## Ἀπολυτίκιον, Ἦχος δ', Δι



## Ὁ Κανὼν τοῦ Ἀποδείπνου

Κανὼν α', Ὠιδὴ α', τῆς Ἑορτῆς Ποίημα Ἰωάννου Μοναχοῦ Ἦχος πλ. α' Ὁ Εἱρμὸς

**«Τῷ Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαόν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται».**

**Ἄσωμεν πάντες λαοὶ τῷ ἐπὶ ὤμων Χερουβὶμ ἀναληφθέντι, μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσταντι ἡμᾶς ἐν δεξιᾷ τοῦ Πατρός, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.**

**Τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων Χριστόν, χοροὶ Ἀγγέλων θεασάμενοι, μετὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο· συμφώνως δὲ ἀνέμελπον, ὕμνον ἐπινίκιον.**

**Τῷ ὀφθέντι Θεῷ, ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ νόμον δόντι τῷ θεόπτῃ Μωσεῖ, τῶν Ἐλαιῶν ἐκ τοῦ ὄρους ἀναληφθέντι σαρκί, αὐτῷ πάντες ᾄσωμεν, ὅτι δεδόξασται.**

Θεοτοκίον

**Ἄχραντε Μῆτερ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ γεννήτορος μὴ ἐκφοιτήσαντα Θεόν, ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασεν.**

Ὠιδὴ γ' Ὁ Εἱρμὸς

**«Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν».**

**Ἀνῆλθες Ζωοδότα Χριστέ, πρὸς τὸν Πατέρα καὶ ἀνύψωσας, ἡμῶν τὸ γένος φιλάνθρωπε, τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.**

**Αἱ τάξεις τῶν Ἀγγέλων Σωτήρ, βροτείαν φύσιν θεασάμεναι, συνανιοῦσάν σοι, ἀπαύστως, ἐκπληττόμεναι ἀνύμνουν σε.**

**Ἐξίσταντο Ἀγγέλων χοροί, Χριστὲ ὁρῶντες μετὰ σώματος, ἀναληφθέντα, καὶ ἀνύμνουν, τὴν ἁγίαν σου Ἀνάληψιν.**

**Τὴν φύσιν τῶν ἀνθρώπων Χριστέ, φθορᾷ πεσοῦσαν ἐξανέστησας, καὶ τῇ ἀνόδῳ σου ὕψωσας, καὶ σαυτῷ ἡμᾶς ἐδόξασας.**

Θεοτοκίον

**Ἱκέτευε ἀπαύστως Ἁγνή, τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης Διαβόλου, τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.**

Ὠιδὴ δ' Ὁ Εἱρμὸς

**«Εἰσακήκοα Κύριε τὴν ἀκοήν, τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· Δόξα τῇ δυνάμει σου Κύριε».**

**Ἀνελήφθης ἐν δόξῃ, ὁ τῶν Ἀγγέλων Βασιλεύς, τὸν Παράκλητον ἡμῖν ἐκ τοῦ Πατρὸς ἀποστεῖλαι. Διὸ βοῶμεν· Δόξα Χριστὲ τῇ Ἀναλήψει σου.**

**Ὡς ἀνῆλθεν ὁ Σωτήρ, πρὸς τὸν Πατέρα σὺν σαρκί, κατεπλάγησαν αὐτῷ, αἱ τῶν Ἀγγέλων στρατιαί, καὶ ἐβόησαν· Δόξα Χριστὲ τῇ, Ἀναλήψει σου.**

**Αἱ τῶν Ἀγγέλων δυνάμεις, ταῖς ἀνωτέραις ἐβόων· Πύλας ἄρατε Χριστῷ, τῷ ἡμετέρῳ Βασιλεῖ, ὃν ἀνυμνοῦμεν, ἅμα σὺν Πατρὶ καὶ τῷ Πνεύματι.**

Θεοτοκίον

Ἡ Παρθένος ἔτεκε, καὶ τὰ μητέρων οὐκ ἔγνω, ἀλλὰ Μήτηρ μὲν ἐστί· Παρθένος δὲ διέμεινεν, ἣν ἀνυμνοῦντες, Χαῖρε Θεοτόκε κραυγάζομεν.

Ὠιδὴ ε' Ὁ Εἱρμὸς

«Ὀρθρίζοντες βοῶμέν σοι· Κύριε Σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν».

Πληρώσας εὐφροσύνης τὰ σύμπαντα ἐλεῆμον, ταῖς ἄνω δυνάμεσι, μετὰ σαρκὸς ἐπεδήμησας.

Ἀγγέλων αἱ δυνάμεις, αἰρόμενόν σε ἰδοῦσαι, τὰς πύλας, ἐκραύγαζον, τῷ Βασιλεῖ ἡμῶν ἄρατε.

Ἀπόστολοι ἰδόντες ὑψούμενον, τὸν Σωτῆρα, ἐν τρόμῳ ἐκραύγαζον· τῷ Βασιλεῖ ἡμῶν δόξα σοι.

Θεοτοκίον

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε· σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ κόσμῳ ἐκύησας.

Ὠιδὴ ς' Ὁ Εἱρμὸς

«Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο· ἐγὼ δὲ ἐβόησα πρὸς σὲ τὸν φιλάνθρωπον καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε».

Ἐσκίρτησαν Ἀπόστολοι, ὁρῶντες μετάρσιον σήμερον, τὸν κτίστην αἰρόμενον ἐλπίδι τοῦ Πνεύματος, καὶ φόβῳ ἔκραζον· Δόξα τῇ ἀνόδῳ σου.

Ἐπέστησαν οἱ Ἄγγελοι, βοῶντες Χριστέ, τοῖς Μαθηταῖς σου· ὃν τρόπον κατείδετε, Χριστὸν ἀνερχόμενον, σαρκὶ ἐλεύσεται, δίκαιος πάντων κριτής.

Ὡς εἶδόν σε Σωτὴρ ἡμῶν, δυνάμεις αἱ οὐράνιαι, εἰς ὕψος αἰρόμενον σύσσωμον, ἐκραύγαζον λέγουσαι· μεγάλη Δέσποτα ἡ φιλανθρωπία σου.

Θεοτοκίον

Βάτον σε ἀκατάφλεκτον, καὶ ὄρος καὶ κλίμακα ἔμψυχον, καὶ πύλην οὐράνιον, ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, ὀρθοδόξων καύχημα.

Ὠιδὴ ζ' Ὁ Εἱρμὸς

«Ὁ ἐν καμίνῳ πυρός, τοὺς ὑμνολόγους σώσας Παῖδας, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν».

Ὁ ἐν νεφέλῃ φωτός, ἀναληφθεὶς καὶ σώσας κόσμον, εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ἐπὶ τῶν ὤμων Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθείς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες.

Ὁ ἀνελθὼν ἐν σαρκί, πρὸς τὸν ἀσώματον Πατέρα, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν νεκρωθεῖσαν ἡμῶν, τῇ ἁμαρτίᾳ φύσιν ἄρας, τῷ σῷ ἰδίῳ Πατρὶ Σῶτερ προσήγαγες.

Θεοτοκίον

Ὁ ἐκ Παρθένου τεχθείς, ἣν Θεοτόκον ἀπειργάσω, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠιδὴ η' Ὁ Εἱρμὸς

«Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεόν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων σαρκωθέντα ἐκ Παρθένου Μητρός, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

Τὸν ἐν δυσὶ ταῖς οὐσίαις, ἀναστάντα ζωοδότην Χριστόν, εἰς οὐρανοὺς μετὰ δόξης καὶ Πατρὶ συγκαθεζόμενον, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

Τὸν ἐκ δουλείας τὴν κτίσιν, τῶν εἰδώλων λυτρωσάμενον, καὶ παραστήσαντα ταύτην, ἐλευθέραν τῷ ἰδίῳ Πατρί, σὲ Σωτὴρ ὑμνοῦμεν, καὶ σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τῇ αὐτοῦ καταβάσει, καθελόντα τὸν ἀντίπαλον, καὶ τῇ αὐτοῦ ἀναβάσει, ἀνυψώσαντα τὸν ἄνθρωπον, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Τῶν Χερουβὶμ ὑπερτέρα, ἀνεδείχθης Θεοτόκε ἁγνή, ἐν τῇ γαστρί σου τὸν τούτοις, ἐποχούμενον βαστάσασα, ὃν σὺν ἀσωμάτοις, βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τούς αἰῶνας.

Ὠιδὴ θ' Ὁ Εἱρμὸς

«Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν».

Σὲ τὸν λυτρωτὴν τοῦ κόσμου, Χριστὸν τὸν Θεόν, οἱ Ἀπόστολοι βλέποντες, ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

Σοῦ τὴν θεωθεῖσαν σάρκα ὁρῶντες Χριστέ, ἐν τῷ ὕψει οἱ Ἄγγελοι, ἀλλήλοις διένευον· Ἀληθῶς οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν.

Σὲ τῶν ἀσωμάτων τάξεις Χριστὲ ὁ Θεός, ἐν νεφέλαις αἰρόμενον ἰδοῦσαι ἐκραύγαζον· τῷ τῆς δόξης Βασιλεῖ πύλας ἄρατε.

Σὲ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς, καὶ τὸν ἄνθρωπον σώσαντα, καὶ τῇ ἀναβάσει σου ἀνυψώσαντα, τοῦτον μεγαλύνομεν.

Θεοτοκίον

Χαῖρε Θεοτόκε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐκύησας, σήμερον, ἐκ γῆς ἀνιπτάμενον, σὺν Ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

Εἰς τήν ἔναρξιν τῆς Λιτανείας ἐκ τοῦ ἱεροῦ Προσκυνήματος τῆς Ἀναλήψεως ψάλλομεν τό ἀπολυτίκιον ἐναλλάξ ἑλληνιστί καί ἀραβιστί ἕως νά εἰσέλθομεν εἰς τό κτῆμα τῆς ἱερᾶς Μονῆς Μικρᾶς Γαλιλαίας ἐκ τῆς ἀνατολικῆς πλευρᾶς. Τά κατωτέρω «Ἐκ νεότητός μου...» καί «Οἱ μισοῦντες Σιών...» ψάλλονται ἀπό τήν εἴσοδον εἰς τό κτῆμα τῆς ἱερᾶς Μονῆς τῆς Μικρᾶς Γαλιλαίας ἕως καί τήν στάσιν εἰς τό ἐξωτερικό προσκυνητάριον, ἔνθα καί ἀναπέμπεται δέησις.

**Εἰς τήν Λιτανείαν, κατά τήν εἴσοδον εἰς τήν Μικράν Γαλιλαίαν, Ἦχος Δ', Βου**






Μετά τήν δέησιν καί τήν ἐκφώνησιν τοῦ Ἀρχιερέως: «ὅτι ἐλεήμων...» συνεχίζομεν μέ τό «Δόξα» καί τό «Καί νῦν» ἕως νά εἰσέλθῃ ἅπασα ἡ πομπή ἐντός τοῦ Ναοῦ τῶν ἁγίων Ἀποστόλων, ἔνθα ἀναμένει ὁ Μακαριώτατος καί ἀφοῦ ψάλλομεν καί τό προκείμενον, ἀναγινώσκομεν τό Α΄ Ἑωθινόν Εὐαγγέλιον ἑλληνιστί καί ἀραβιστί. Κατόπιν ἀναπέμπεται δέησις καί μετά τό «ὅτι ἐλεήμων...» ψάλλομεν τό πολυχρόνιον τοῦ Πατριάρχου καί αὖθις συνεχίζομεν τήν πομπήν ἐπιστρέφοντες εἰς τό ἱερό Προσκύνημα τῆς Ἀναλήψεως, ψάλλοντες τό ἀπολυτίκιον ἐναλλάξ ἑλληνιστί καί ἀραβιστί. Ἅμα τῇ ἀφίξει, συνεχίζομεν τό ὑπόλοιπον τοῦ Ἀποδείπνου καί γίνεται ἀπόλυσις.






**Προκείμενον Ἦχος Δ',**

**Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.**

**Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.**

**Πολυχρόνιον Πατριάρχου Ἱεροσολύμων Ἦχος Γ', Γα**




Ἀπόντος τοῦ Πατριάρχου, μετά τό Πολυχρόνιον ψάλλομεν «τόν Δεσπότην...» καί κατόπιν συνεχίζομεν τήν πομπήν ἐπιστρέφοντες εἰς τό ἱερό Προσκύνημα τῆς Ἀναλήψεως, ψάλλοντες τό ἀπολυτίκιον ἐναλλάξ ἑλληνιστί καί ἀραβιστί. Ἅμα τῇ ἀφίξει εἰς τό Προσκύνημα, συνεχίζομεν τό ὑπόλοιπον τοῦ Ἀποδείπνου καί γίνεται ἀπόλυσις.

Τό πρωΐ εἰς τόν Ὄρθρον Καταβασίαι

Ὠδὴ α' Ἦχος δ'

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ,
Ἐρρητόρευσε τὸν θεόγραφον νόμον.
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται Πνεύματος,
Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Ὠδὴ γ'

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας,
Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης,
Μόνη προσευχῇ τῆς προφήτιδος πάλαι,
Ἄννης, φερούσης πνεῦμα συντετριμμένον,
Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Ὠδὴ δ'

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος
Λόγος προελθών, Πατρὸς ἐξ ἀναιτίου,
Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις,
Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης,
Ἄιδουσι· Δόξα τῷ κράτει σου Κύριε.

Ὠδὴ ε'

Λυτήριον κάθαρσιν ἀμπλακημάτων,
Πυρίπνοον δέξασθε Πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας.
Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος,
Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ὠδὴ ς'

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία,
Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου,
Ἵν', ὡς προφήτην θηρὸς ἐκ θαλαττίου
Στέρνων Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσῃς
Ὅλον τὸν Ἀδάμ, παγγενῆ πεπτωκότα.

Ὠδὴ ζ'

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος,
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας,
Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις,
Σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη,
Ἰσοσθενής, ἄναρχος, εὐλογητὸς εἶ.

Ὠδὴ η'

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.
Λύει τὰ δεσμά, καὶ δροσίζει τὴν φλόγα,
Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος.
Ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον
Σωτῆρα καὶ παντουργόν, ὡς εὐεργέτην,
Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Κανὼν α', Ὠιδὴ θ' Ἦχος πλ. α'

«Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν».

Σὲ τὸν λυτρωτὴν τοῦ κόσμου, Χριστὸν τὸν Θεόν, οἱ Ἀπόστολοι βλέποντες, ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

Σοῦ τὴν θεωθεῖσαν σάρκα ὁρῶντες Χριστέ, ἐν τῷ ὕψει οἱ Ἄγγελοι, ἀλλήλοις διένευον· Ἀληθῶς οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν.

Σὲ τῶν ἀσωμάτων τάξεις Χριστὲ ὁ Θεός, ἐν νεφέλαις αἰρόμενον ἰδοῦσαι ἐκραύγαζον· τῷ τῆς δόξης Βασιλεῖ πύλας ἄρατε.

Σὲ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς, καὶ τὸν ἄνθρωπον σώσαντα, καὶ τῇ ἀναβάσει σου ἀνυψώσαντα, τοῦτον μεγαλύνομεν.

Θεοτοκίον

Χαῖρε Θεοτόκε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐκύησας, σήμερον, ἐκ γῆς ἀνιπτάμενον, σὺν Ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

Κανὼν β', Ὠιδὴ θ' Ἦχος δ' Ἅπας γηγενὴς

Ἄγγελοι, τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ὢ τῶν δωρεῶν, τῶν ὑπὲρ κατάληψιν! ὢ μυστηρίου φρικτοῦ! πάντων ὁ δεσπόζων γάρ, ἐκ γῆς ἀπαίρων πρὸς τὰ οὐράνια, τοῖς Μαθηταῖς ἀπέστειλε, Πνεῦμα τὸ ἅγιον, τὸ φωτίσαν τούτων τὴν διάνοιαν, καὶ πυρίνους τελέσαν ἐν χάριτι.

Ἄγγελοι, τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο· πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Στίφει Μαθητῶν, ὁ Κύριος ἔφησεν· Ὑμεῖς καθίσατε, εἰς Ἱεροσόλυμα, κἀγὼ ἐκπέμψω ὑμῖν Παράκλητον, ἄλλον, Πατρὶ τὸν σύνθρονον, κἀμοὶ ὁμότιμον, ὃν ὁρᾶτε, ἀναλαμβανόμενον, καὶ νεφέλη φωτὸς ἐποχούμενον.

Δόξα... Ἄγγελοι, τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο· πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ἤρθη ἐμφανῶς, ἡ μεγαλοπρέπεια, ἄνωθεν σαρκὶ πτωχεύσαντος, τῶν οὐρανῶν, τοῦ καὶ συνεδρίᾳ Πατρὸς τετίμηται, φύσις ἡμῶν ἡ ἔκπτωτος. Πανηγυρίσωμεν, καὶ συμφώνως πάντες ἀλαλάξωμεν, καὶ κροτήσωμεν χεῖρας γηθόμενοι.

Καί νῦν... Ἄγγελοι, τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο· πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Φῶς τὸ ἐκ φωτός, ἐκλάμψαν πανάμωμε, ἐκ σοῦ ἀνέτειλε, καὶ τὴν ἀμαυρότητα, τῆς ἀθεΐας πᾶσαν διέλυσε, καὶ τοὺς νυκτὶ καθεύδοντας ἐφωταγώγησε· διὰ τοῦτο πάντες κατὰ χρέος σε, εἰς αἰῶνας ἀεὶ μακαρίζομεν.

Ἄγγελοι, τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο· πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος· Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως, ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον Νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν.

Ἐξαποστειλάριον Ἦχος β' Αὐτόμελον (Ἐκ γ')

Τῶν Μαθητῶν ὁρώντων σε ἀνελήφθης, Χριστὲ πρὸς τὸν Πατέρα συνεδριάζων, Ἄγγελοι προτρέχοντες ἐκραύγαζον· Ἄρατε πύλας ἄρατε· ὁ Βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τήν ἀρχίφωτον δόξαν.

## Εἰς τούς Αἴνους, Ἦχος Α', Πα




## Εἰς τόν καιρόν τοῦ Ἀρχιερέως, Ἦχος Βαρύς, Ζω



## Εἰς τοὺς Αἴνους, Στιχηρὰ Προσόμοια Ἦχος α' Τῶν οὐρανίων ταγμάτων

**Αἰνεῖτε Αὐτὸν ἐπὶ ταῖς δυναστείαις Αὐτοῦ· αἰνεῖτε Αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης Αὐτοῦ.**

Ἀγγελικῶς οἱ ἐν κόσμῳ, πανηγυρίσωμεν, τῷ ἐπὶ θρόνου δόξης, Θεῷ ἐποχουμένῳ, κραυγάζοντες τὸν ὕμνον· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ οὐράνιος, ὁ συναΐδιος Λόγος, Ἅγιος εἶ, καὶ τὸ Πνεῦμα τὸ πανάγιον.

**Αἰνεῖτε Αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε Αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.**

*Τό αὐτό*

**Αἰνεῖτε Αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.**

Οἱ ἀρχηγοὶ τῶν Ἀγγέλων, κατανοοῦντες Σωτὴρ, τὸ τῆς ἀνόδου ξένον, διηπόρουν ἀλλήλοις· Τίς ἡ θέα αὕτη; ἄνθρωπος μέν, τῇ μορφῇ ὁ ὁρώμενος, ὡς δὲ Θεός, ὑπεράνω τῶν οὐρανῶν, μετὰ σώματος ἀνέρχεται.

**Αἰνεῖτε Αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε Αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

Οἱ Γαλιλαῖοι ὁρῶντες, ἀναληφθέντα σε, ἀπὸ τοῦ Ἐλαιῶνος, μετὰ σώματος Λόγε, ἤκουον Ἀγγέλων, βοώντων αὐτοῖς· Τί ἑστήκατε βλέποντες; οὗτος ἐλεύσεται πάλιν μετὰ σαρκός, καθ' ὃν τρόπον ἐθεάσασθε.

## Εἰς τούς Αἴνους Δοξαστικόν, Ἦχος β', Δι




πα τη η σα α ας τον θα α α να α α α τον α νε
λη η φθη η ης εν δο ο ξη ο τα συ υμ πα αν τα
α πλη η η ρων και α πε ε στει ει λας η η η
μιν Πνε ε ευ μα θει ει ον του α νυ μνειν και δο ξα
ζει ειν σου τη ην Θε ε ο ο ο τη η η η τα
Δοξολογία, Ἦχος β', Βου
Δο ξα σοι τω δει ξαν τι το φως Δο ξα εν υ ψι στοις Θε ω και
ε πι γης ει ρη νη εν αν θρω ποις ευ δο κι α
Υ μνου μεν σε ευ λο γου μεν σε ε προ σκυ νου μεν σε δο ξο λο γου μεν
σε ευ χα ρι στου μεν σοι δι α την με γα α λην σου δο ο ξαν
Κυ ρι ε Βα σι λευ ε που ρα νι ε Θε ε ε Πα τερ Παν
το κρα τορ Κυ ρι ε Υι ε μο νο γε νες Ι η σου Χρι στε ε
και α γι ον Πνευ μα


Κυ ρι ε ο Θε ος ο α μνο ος του Θε ου ο Υι ος του
Πα τρος ο αι αι ρων την α μαρ τι ι αν του κο ο σμου ε
λε η σον η μας ο αι αι ρων τας α μαρ τι ι ας του κο σμου
Προ σδε ξαι την δε η σιν η μων ο κα θη με νος εκ δε ξι
ω ων του Πα τρος και ε λε η σον η μας
3
Ο τι συ ει μο νος α γι ος συ ει μο νος Κυ ρι ος Ι η
σους Χρι στος εις δο ο ξαν Θε ου Πα τρος Α μην
Καθ ε κα στην η με ραν ευ λο γη σω σε και αι νε σω το
ο νο μα σου εις τον αι ω να και εις τον αι ω να
του αι ω νος
Κα τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα αυ τη
α να μαρ τη τους φυ λα χθη η ναι η μας


Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα τε ε ρων η
μων και αι νε τον και δε δο ξα σμε νον το ο νο
μα α σου εις τους αι ω νας Α μην
Γε νοι το Κυ ρι ε το ε λε ος σου εφ η μας καθ α περ
ηλ πι σα α μεν ε πι σε
Ευ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα δι και
ω μα τα σου (Δίς)
Ευ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα α
δι και ω μα τα σου (Τό τρίτον)
Κυ ρι ε κα τα φυ γη ε γε νη θης η μιν εν γε νε α και
γε νε α Ε γω ει πα Κυ ρι ε ε λε η σον με
ι α σαι την ψυ χη ην μου ο τι η μαρ τον σοι


Κυ ρι ε προς σε κα τε φυ γον δι δα ξον με του ποι ειν το θε
λη μα α σου ο τι συ ει ο Θε ο ος μου
Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι σου ο ψο με θα φως
Πα ρα τει νον το ε λε ο ος σου ου τοις γι νω σκου σι σε ε
Α γι ος ο Θε ο ος Α γι ος Ι σχυ ρος Α γι ος Α
θα να τος ε λε η σον η μας
Δο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα τι
Και νυ υ υν και α ει και εις τους αι ω νας των αι ω νων α μην
Α γι ος Α θα να τος ε λε η σον η μας
Α α α α α γι ος ο ο Θε ε ος Α α α α α γι ος
Ι ι σχυ υ ρος Α γι ος Α θα α να το ος ε ε
λε ε η η η σο ον η η η μα α α ας

## Εἰς τήν Λειτουργίαν

### Ἀντίφωνον Α', Ἦχος β'

Στίχ. α' Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς

Στίχ. β' Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
Στίχ. γ' Ὑπέταξας λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.
Δόξα Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι. Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων ἀμήν.

### Ἀντίφωνον Β', Ἦχος β'

Στίχ. α' Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα.




Στίχ. β' Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται.
Στίχ. γ' Ὅτι Ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν.

Δόξα Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι. Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων ἀμήν.

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

### Ἀντίφωνον Γ', Ἦχος δ'

Στίχ. α' Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Στίχ. β' Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
Στίχ. γ' Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

### Εἰσοδικὸν

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα

## Τρισάγιον τοῦ Ἀποστόλου[1] Ἦχος Β', Δι




[1] *Μουσικός Πανδέκτης, Τόμος 4ος, «Θεία Λειτουργία», ἐκδ. «Ζωή», Ἀθήνα 1989⁵, σελ. 34-35.*

## Ἀπόστολος

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός.

Ἑτοίμη ἡ καρδία μου ὁ Θεός ἑτοίμη ἡ καρδία μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος Ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ συναυλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ ἐν πνεύματι βαπτισθήσεσθε ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπεν δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἰερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. Καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, Σαββάτου ἔχον ὁδόν.

Ἀλληλούϊα. Ἦχος β'

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Στίχ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

## Χερουβικόν Θεοδώρου Φωκαέως[2] Ἦχος Πα




[2] *Μουσικός Πανδέκτης, Τόμος 4, Θ. Λειτουργία, Ἐκδ. "Ζωή", Ἀθήνα 1989⁵, σελ. 88-90.*


ον υ μνο ον προ σα α
δο υ μνον προ σα δο ον τε ες
πα σαν τη ην βι ο τι κη νη ην α
πο ο θω με θα α
α με ρι ι
ι με ρι μνα να αν
Ω ως τον βα σι λε ε
ε ε
ε ε χε ε
ε α των ο ο
λο ων υ πο ο δε ξο με νοι
Ταις α αγ γε λι καις α ο ρα τω ως
δο ρυ φο ρου με νο ον τα ξε ε
σιν Αλ λη λου ι α α

## Λειτουργικὰ Δημητρίου Σουρλατζῆ[3] Ἦχος πλ. Α', Πα Στιχηραρικά




---

[3] *Δημητρίου Σουρλατζῆ, Θεία Λειτουργία, Θεσσαλονίκη 2001, σελ. 327-334.*

**Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱόν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τον δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν. Εἰς Μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἕν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωήν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν**

**Ве'рую во Еди'ного Бо'га Отца' Вседержи'теля, Творца' не'бу и земли', ви'димым же всем и неви'димым. И во Еди'ного Го'спода Иису'са Христа', Сы'на Бо'жия, Единоро'дного, Иже от Отца' рожде'ннаго пре'жде всех век. Све'та от све'та, Бо'га и'стинна от Бога истинна, рожде'нна, не сотворе'нна, единосу'щна Отцу', И'мже вся бы'ша. Нас ра'ди, челове'к, и на'шего ра'ди спасе'ния сше'дшаго с небе'с, и воплоти'вшагося от Ду'ха Свя'та и Мари'и Де'вы, и вочелове'чшася. Распя'того же за ны при Понти'йстем Пила'те, И страда'вша, и погребе'на. И воскре'сшаго в тре'тий день по писа'нием. И возше'дшаго на небеса', и седя'ща одесну'ю Отца'. И па'ки гряду'щаго со сла'вою суди'ти живы'м и ме'ртвым, Его'же Ца'рствию не бу'дет конца'. И в Ду'ха Свята'го, Го'спода Животворя'щаго , И'же от Отца' исходя'щаго, И'же со Отце'м и Сы'ном спокл оня'ема и ссл ави'ма, глаголо'вшаго проро'ки. Во еди'ную Святу'ю Собо'рную и Апо'стольскую Це'рковь. Испове'даю еди'но креще'ние во оставле'ние грехо'в. Ча'ю воскресе'ния ме'ртвых, и жи'зни бу'дущаго ве'ка. Ами'нь.**


Ε λε ον ει ρη η η νης θυ σι ι ι αν αι αι νε ε
ε σε ε ε ως Και με τα του πνευ μα α το ο ος σου
Ε χο ο ο μεν προς το ον Κυ υ υ ρι ι ι ι ον
Α α ξι ο ον και δι ι ι ι ι και αι αι αι ον
Α γι ος Α α α γι ος Α γι ος Κυ υ υ ρι ος Σα α βα α ωθ
πλη η η ρης ο ου ρα νο ο ο ος και αι αι η γη η της δο ο ξη
η ης σου ω σαν να εν τοις υ υ ψι ι ι στοις ευ λο γη με νος
ο ε ε ερ χο με ε ε νος εν ο νο μα τι Κυ υ ρι ι ι ου
ω σαν να α α α α ο ο ο ο εν τοις υ ψι ι ι στοις
Α α α α α μην Α μη η η α α α α μην
Σε υ υ μνου ου ου ου ου μεν Σε ε ευ λο ο ο γου ου ου ου μεν
Σοι ευ χα α ρι στου μεν Κυ υ ρι ι ι ε και δε ο ο
με ε θα α α α σου ο ο ο Θε ο ο ο ο Θε ο ο ος η η μων

## Ἀντί τοῦ «Ἄξιόν ἐστιν», Ἰωάννου Πρωτοψάλτου,[4] Ἦχος πλ. Α', Κε




## Ἀντί τοῦ «Ἄξιόν ἐστιν», Γεωργίου Σαρανταεκκλησιώτου,[5] Ἦχος πλ. Α', Κε




---

[4] Γ. Πρωγάκη, «Μουσική Συλλογή», τόμος Γ', Κων/Πολη 1910, σελ. 276-277.

[5] Ἀγαθαγγέλου Κυριαζίδου, «Αἱ δύο Μέλισσαι», τόμος Β', Κων/πολη 1906, σελ. 544.

## Μεγαλυνάριον

**Ἐκ τοῦ ὄρους Σῶτερ τῶν Ἐλαιῶν, σαρκί ἀνελήφθης, καθορώντων τῶν μαθητῶν· ὅθεν σου τήν θείαν, Ἀνάληψιν ὑμνοῦμεν, δι' ἧς ἡμᾶς πρός δόξαν, ὕψωσας ἄρρητον.**

**Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ Βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.**

**أَبَانَا ٱلَّذِي فِي ٱلسَّمَاوَاتِ، لِيَتَقَدَّسِ ٱسْمُكَ، لِيَأْتِ مَلَكُوتُكَ، لِتَكُنْ مَشِيئَتُكَ كَمَا فِي ٱلسَّمَاءِ كَذَٰلِكَ عَلَى ٱلْأَرْضِ. خُبْزَنَا ٱلْجَوْهَرِيَّ أَعْطِنَا ٱلْيَوْمَ، وَٱتْرُكْ لَنَا مَا عَلَيْنَا كَمَا نَتْرُكُ نَحْنُ لِمَنْ لَنَا عَلَيْهِ، وَلَا تُدْخِلْنَا فِي تَجْرِبَةٍ، لَٰكِنْ نَجِّنَا مِنَ ٱلشِّرِّيرِ.**

**О'тче наш, Иже' еси' на небесе'х! Да святи'тся и'мя Твое', да прии'дет Ца'рствие Твое', да бу'дет во'ля Твоя', я'ко на небеси' и на земли'. Хлеб наш насу'щный да'ждь нам днесь, и оста'ви нам долги' на'ша, я'коже и мы оставля'ем должнико'м на'шим, и не введи' нас во искуше'ние, но изба'ви нас от лука'ваго.**

**Tatăl nostru, Care eşti în ceruri, sfinţească-se numele Tău, vie împărăţia Ta, facă-se voia Ta, precum în cer aşa şi pe pământ. Pâinea noastră cea spre fiinţă dă-ne-o nouă astăzi, şi ne iartă nouă greşelile noastre, precum şi noi iertăm greşiţilor noştri, şi nu ne duce pe noi în ispită, ci ne izbăveşte de cel rău.**

### Κοινωνικόν τῆς Ἀναλήψεως ὑπό Πέτρου Λαμπαδαρίου[6], Ἦχος Δ', Δι




[6] *Μουσικός Πανδέκτης, τόμος 4ος, Θ. Λειτουργία, ἐκδ. «Ζωή», Ἀθήνα 1989[5], σελ. 310-312.*


ε ε
ε ε
ε ε
ε ε α νε βη η
η νη η ο ο
ο Θε ε ε
ε χε α νε βη ο Θε ε
ο ος εν α λα λα α
α χα α
α να α εν α λα α
α χα να να α
α α
α ε εν α λα α


α εν α λα α λα αγ μω ω Κυ υ υ υ
υ ρι νι ι
ι Κυ ρι ο ος εν φω νη η
η νη η
σα α
α χα α
α χα α
α α
α σα α
α α εν φω νη σα α
α α αλ πι σαλ πι ιγ γο ο
ο ος Αλ λη λου ου ι ι
α α

### Ἀντί τοῦ «Εἴδομεν τό φῶς», Ἀπολυτίκιον, Ἦχος δ', Δι




**Μετά τήν Ἀπόλυσιν τῆς Θ. Λειτουργίας, ὁ Διάκονος ἐκφωνεῖ: «Εὐλόγησον Δέσποτα τήν ἁγίαν Εἴσοδον», ὁ Ἀρχιερεύς: «Εὐλογημένη ἡ Εἴσοδος τῶν ἁγίων σου...» καί ἄρχεται ἡ Λιτανεία πέριξ τοῦ ἱεροῦ Προσκυνήματος, ψαλλομένου τοῦ Ἀπολυτικίου ἕως τήν κεντρικήν εἴσοδον, ἔνθα καί παρατάσσονται οἱ ἱερεῖς εἰς τόν διάδρομον ἔνθεν κακεῖθεν. Ὁ Ἀρχιερεύς ἀναγινώσκει τήν Εὐαγγελικήν περικοπήν τῆς Ἀναλήψεως καί κατόπιν γίνεται δέησις.**

### Κατά τήν ἐπιστροφήν μετά τό τέλος τῆς Λιτανείας, Ἦχος Βαρύς,

